ἔτους ἴον ὀρεινὸν ἐν τοῖς λειμῶσι, καὶ τὸν τόπον εὐωδίαν ἀεὶ κατέχουσαν ἁρπάζειν τὰς τῶν θηρίων ἀναπνοάς. λέγεται δὲ μῦθος, ὡς τὴν Κόρην ἐκεῖθεν ἀνθολογοῦσαν ὁ Πλούτων ἀφαρπάσειε, καὶ διὰ τοῦτο τιμῶντες καὶ σεβόμενοι τὸ χωρίον ὡς ἄσυλον οὐκ ἐπιτίθενται τοῖς ἐκεῖ νεμομένοις.

ΚΔ'.

Διὰ τί περὶ τὰς πανσελήνους ἥκιστα ταῖς ἰχνοσκοπίαις ἐπιτυγχάνουσιν;

Ἢ διὰ τὴν εἰρημένην αἰτίαν; δροσοβόλοι γὰρ αἱ πανσέληνοι· | διὸ καὶ τὴν δρόσον ὁ Ἀλκμὰν (fr. 43 II 2 p. 26 D.) Διὸς θυγατέρα καὶ Σελήνης προσεῖπε ποιήσας **918**

Διὸς θυγάτηρ Ἔρσα τρέφει καὶ Σελάνας δίας.

ἡ γὰρ δρόσος ἀσθενής ἐστι καὶ ἀδρανὴς ὄμβρος, ἀσθενὲς δὲ καὶ τὸ τῆς σελήνης θερμόν· ὅθεν ἕλκει μὲν ἀπὸ γῆς ὥσπερ ὁ ἥλιος, ἄγειν δ' εἰς ὕψος μὴ δυναμένη μηδ' ἀναλαμβάνειν μεθίησιν.

ΚΕ'.

Διὰ τί τὸ δρόσιμον γενόμενον διὰ τοῦ ψύχους δυστίβευτον;

Πότερον ὅτι τὰ θηρία πόρρω τῶν κοιτῶν ὀκνοῦντα προϊέναι διὰ τὸ κρύος οὐ ποιεῖ πολλὰ σημεῖα; διὸ καί φασιν αὐτὰ φείδεσθαι τῶν πλησίον, ὅπως μὴ κακοπαθῇ πλανώμενα μακρὰν τοῦ χειμῶνος ἀλλ' ἀεὶ ἐγγύθεν ἔχῃ νέμεσθαι. ἢ δεῖ μὴ μόνον ἔχειν ἴχνη τὸν στιβευόμενον Β τόπον ἀλλὰ κινεῖν τὴν ὄσφρησιν, κινεῖ δὲ λυόμενα καὶ χα-

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403574099/27 UNIVERSITÄT LEIPZIG